querit: fr. 2 sepulcro aptum est, neque contra facit quod Theophrastus *ἐν ταῖς ἐλεγείαις* apponit; fr. 1 ad elogium referre in promptu est cuius mentionem facit Vita Aeschyli 8.

1 Plut. *quaest. conv.* 1. 10. 3 p. 628de *Γλαυκίας δὲ ὁ ῥήτωρ καὶ τὸ δεξιὸν κέρας Αἰαντίδαις τῆς ἐν Μαραθῶνι παρατάξεως ἀποδοθῆναι, ταῖς Αἰσχύλου †τὴν μεθορίαν ἐλεγείαις πιστούμενος, ἠγωνισμένου τὴν μάχην ἐκείνην ἐπιφανῶς.*

2 Theophrastus, *hist. plant.* 9. 15 *καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν·*

*Τυρσηνὸν γενεάν, φαρμακοποιὸν ἔθνος.*

AGATHON : v. Adesp. eleg. 23.

## ALCIBIADES

Atheniensis
ca. 450 - 404

Schol. Aristid., iii. 444. 23 Dindorf *ἄλλοι δὲ λέγουσιν ὅτι ἐκωμῴδουν ὀνομαστὶ τοὺς ἄνδρας μέχρις Εὐπόλιδος· περιεῖλε δὲ τοῦτο Ἀλκιβιάδης ὁ στρατηγὸς καὶ ῥήτωρ. κωμῳδηθεὶς γὰρ παρὰ Εὐπόλιδος ἔρρυψεν αὐτὸν ἐν τῇ θαλάττῃ ἐν Σικελίᾳ συστρατευόμενον, εἰπών·*

*†βάπτε με σὺ/ἐν† θυμέλῃσιν· ἐγὼ δὲ σὲ κύμασι πόντου*
*βαπτίζων ὀλέσω νάμασι πικροτάτοις.*